# M. TOBIAS STENGELIVS BOHEMVS,

## AMICO SVO, PAVLO PRESSIO, CANDIDATO,

*hæc ſcribebat beneuolentiæ & honoris cauſa, pridie eius dici quo publicè renunciati ſunt.*

Χαίρειν χρὴ φίλε Παῦλε καὶ εὐφημεῖν σέο τιμῇ
  εὔχεσθαί τε θεῷ οὐκ ἀμελοῦντι σέθεν,
μοῦσαι ἰοστέφανοι θεράπουσι τεσσαράκοντα,
  καὶ σοὶ δώσουσι κῦδος ἀγητὸν ἔχειν.
πολλοῖσι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι
  πᾶν κατὰ σῶμα παθεῖν Σαρδαναπάλῳ ὁμῶς:
οὗτοι δὴ φιλέουσιν ἁπλῶς ἔμμεν ἀνδραποδώδεις,
  τῶν βοσκημάτων καὶ ἀγαπῶσι βίον.
ἄλλοι πλοῦτον ἔχειν ζητοῦσί γε. ἡ δὲ πορισμῷ
  θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη,
ἁρπάζειν δὲ φιλεῖ, ἀδικεῖν δέ τε θυμὸν ἀνώγει
  πολλάκι καὶ χρῆσθαι μὴ δύναται ὃ ἔχων.
ἄλλοι δ' αὖ χαρίεντες ἐφιέμενοι μάλα τιμήν,
  τιμᾶσθαι τἀγαθὸν φάσιν ὑπὸ φρονίμων:
τούτων πᾶς ἀρετὴν κοσμημένος ἄξιός ἐστι
  καίπερ νῦν τ' ἀφρῶν πλούσιον ἄνδρα τίει.
αὐτὰρ ἔγωγέ τι φημὶ τέλος πολὺ βέλτιον εἶναι
  ἐν χρηστῷ σοφίην, μέτρια τ' ἄλλα, τρόπῳ.
ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
  κινδύνους ἐπάγειν. ἔσχατα ὕβριν ἔχει.
αὐτομάτως ἀρετῇ τιμὴ καὶ κῦδος ὀπηδεῖ,
  χ' ἣ γέρας ἐστὶ θεοῦ, ἡ δ' ἀγαθῶν μερόπων.
ταῦτα σὺ γιγνώσκων μούσαις πολυφίλτατε Παῦλε
  εἰς μίαν εἰσορόεις ἐλπίδα τὴν σοφίην.
τῇδε ἡ εὐσεβίη μάλα σύζυγός ἐστι, καὶ αὐτὴν
  κυβερνοῦσα θεοῦ γνῶσις ἀϊδίοιο.
τοὔνεκα αὐτομάτως κλέος ἔρχεται σοὶ θεράποντι
  μουσάων, αἵ νῦν σε στεφανῶσιν ἴοις.
χαίρων ἐκτελέσειας ὁδὸν διὰ τέμπεα μουσῶν
  καλά, τὰ μὲν πρῶτον τρηχέα βαινέμεναι.
χαῖρε φίλ', οὔτε φθόνος μερόπων φρεσὶν ἄλγεα
  εἰ δὲ φθονῇ, ἀρετὴν αἰὲν ἔχων φθονέει. (θέσθω.